A

BISETVS. Κλέων, καὶ Ἀγοράκριτος μεγάλαις βοαῖς ἀλλήλων κατηγοροῦσιν, ἀλλήλους λοιδοροῦσιν, ἀλλήλοις πληγάς, τραύματα, φόνους, ἀπώλειαν ἀπειλοῦσι.

Αλ. Ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτον τρέψομαι.
Χο. Ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ.
Ην δ' ἀναιδείᾳ παρέλθῃς; ἡμέτερος ὁ πυραμοῦς.
Κλ. Τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι, καί φημ' ἐξάγειν,
Ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.
Αλ. Ναὶ μὰ Δία, κἄγωγε τοῦτον ὅτι κενῇ τῇ κοιλίᾳ
Ἐσδραμὼν ἐς τὸ Πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
Δη. Νὴ Δί' ἐξαγαγών γε τἀπόρρηθ', ἅμ' ἄρτον, καὶ κρέας,
Καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

AG. EGo verò te, cum hoc clamore, primus conÿciam in fugam.
CH. At si illum vincas clamore, triumphū duces Musicum:
Sin superes ipsum impudentia: nobis placenta eris.
CL. Hunc ego virum dico, & demonstro, clam triremibus
Peloponnesiorum efferre iuscula & cibaria.
AG. Ita per Iouem: & ego dico, quòd hic ventre vacuo solet
Ingredi Prytaneum: post autem pleno rursum egredi.
DE. Per Iouem. Nam cum pane atque carne, inde arcana extulit,
Et frusta, quibus neque Pericles dignus iudicatus est.

Σχόλια. Τήνελλος εἶ.] τήνελλος ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτόν, μουσικώτατος εἶ. ἄλλως. νικηφόρος. τήνελλος δὲ κρουμάτιον ἐπινίκιον. Ην δ' ἀναιδείᾳ.] κἂν ἡττηθῇς φησὶν ὑπ' αὐτοῦ τῇ βοῇ. περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. πυραμοῦς δέ, εἶδος πλακοῦντος. ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων. ὡς καὶ σησαμοῦς τὸ διὰ σησάμων. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι δὲ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, ἐλάμβανε τὸν πυραμοῦντα. Ἐγὼ δείκνυμι.] ἐνδείκνυμι. καὶ φαίνω. ἐνδεικνύναι δὲ ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά. Ζωμεύματα.] τὰ τῶν νεῶν χρειώδη. λέγεται δὲ ξύλα καὶ κηρὸς καὶ πίσσα. ἄλλως. τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ Ἀθηναίων ἐξάγειν ξύλα, καὶ πίτταν. εἶχον δὲ καὶ οἱ Λακεδαιμόνιοι τριήρεις. Ἐκθεῖ πλέᾳ.] ἔξεισι καὶ πορεύεται μεστῇ καὶ γεμούσῃ. τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας γενόμενος πλούσιος. εἰσδραμὼν δὲ ἀντὶ τοῦ εἰσελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῇ δὲ λέξει κέχρηται ἵνα δείξῃ αὐτὸν ἐμπεπηδηκότα βιαίως καὶ ἀναισχύντως τῇ πολιτ[είᾳ]. Πρυτανεῖον δὲ τόπος Ἀθήνησιν οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. ταῦτα δὲ εἶπεν ὅτι πένης ὢν ἐκ τῶν κοινῶν πεπλούτηκε, καὶ ὅτι ἀναξίως ἔχει τῆς ἐν Πρυτανείῳ σιτήσεως. Νὴ Δία ἐξαγαγών γε τἀπόρρητα.] ἐπειδὴ ὁ Κλέων εἶπεν ἀπόρρητα, καὶ αὐτὸς εἶπε κρέας καὶ ἄρτον. λέγει οὖν ὅτι ἀναξίως ἔτυχεν ὁ Κλέων, οὗ Περικλῆς οὐκ ἔτυχε τῶν Ἀθηναίων μὴ παρεχόντων. καί τοι ὑπὸ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτουμένου, ἢ ὅτι ἐξοστρακισθείς, οὐκ ἔτυχε τῆς ἐν Πρυτανείῳ σιτήσεως, ἢ ὅτι διὰ τοῦτο εἶπε κρέας καὶ ἄρτον ἐπειδὴ οὐκ ἐξῆν τὰ θυόμενα Δημήτρᾳ καὶ Περσεφόνῃ, ἔξω ἀφιέναι. ὡς γοῦν αὐτοῦ ἐκφέροντος, κατηγορεῖ. Καὶ τέμαχος.] ἰχθύων. ἰδίως δὲ τεμαχίσας ἰχθῦς, τοὺς μεγάλους καὶ κατακοπτομένους.

BISETVS. Διπλῆ καὶ εἴσθεσις κώλων ιθ'.

Κλ. Ἀποθανεῖσθον αὐτίκα μάλα.
Αλ. Τριπλάσιον κεκράξομαί σου.
Κλ. Καταβοήσομαι βοῶν σε.
Αλ. Κατακεκράξομαί σου κράζων.
Κλ. Διαβαλῶ σ', ἐὰν στρατηγῇς.
Αλ. Κυνοκοπήσω σου τὸ νῶτον.
Κλ. Περιελῶ σ' ἀλαζονείας.

F

CL. MAle omnes illicò peribitis.
AG. Ego triplò plus clamitabo.
CL. Ego magis clamabo, clamans.
AG. Ego magis strepam strependo.
CL. Ducem ego te calumniabor.
AG. Tibi dolabo terga flagris.
CL. Tibi superbiam hanc reuellam.

Σχόλια. Ἀποθανεῖσθον.] διπλῆ καὶ εἴσθεσις περιοδικὴ κώλων ιθ. ὧν τὰ μὲν ιε ἀμοιβαῖα τῶν ὑποκριτῶν δίμετρα. τὰ δὲ τέσσαρα ἐναλλὰξ ἀκατάληκτα. καὶ μήποτε εἰσὶ δίστιχα τετράμετρα καταληκτικά. αὐτίκα δὲ μάλα εὐθὺς παραχρῆμα. Ἀττικὴ δὲ ἡ σύνταξις. κεκράξομαι δέ, τὸ κεκραγμῷ περιέσομαι, ἀντὶ τοῦ νικήσω. Κυνοκοπήσω σου.] τυπτήσω σε, καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων ἰχθύς ποιός. ἅμα δὲ καὶ κυνείῳ σε δέρματι παίσω. ἔστι γὰρ τραχύτατον. Περιελῶ σ' ἀλαζονείας.] οἷον ἀποδύσω σε καὶ παύσω τῆς ἀλαζονευμάτων. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. παύσω καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω. νικήσω.

G

BISETVS. Περιελῶ σ' ἀλαζονείας] γέγραπται καὶ περιελάσω. εἰ περιελῶ γράψῃς, εἴη ἂν ἀντὶ τοῦ περιαιρήσω, παρὰ τὸ ἀρχηστὸν περιέλω, οὗ ὁ μέλλων περιελῶ ἐν χρήσει παρὰ πολλοῖς, ὡς τὸ ἐξελῶ. Εὐριπίδης ἐν Ἑλένῃ.
Ἐλθὼν δ' εἰς οἴκους ἐξελῶ κόσμον νεκρῷ,
Καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ.
περιαιρεῖν δὲ λέγονται καὶ οἱ τέκτονες τὸ τῶν ξύλων περιττ-